ΚΟΘΗΛΑΣ βασιλεύς. 336α

| Σάτυρος fr. 5. |
| --- |
| A. Schaefer: Demosthenes u. seine Zeit Leipzig 1856 τ. II σ. 418 |

Satyr. fr. 5 (b. Ath. 13 s. 557d)

Καὶ τὴν Θρᾴκην δὲ ὅτε εἷλεν Φίλιππος, ἧκε πρὸς αὐτὸν Κοθήλας ὁ τῶν Θρᾳκῶν βασιλεὺς ἄγων Μήδαν τὴν θυγατέρα καὶ δῶρα πολλά. γήμας δὲ καὶ ταύτην ἐπεισήγαγε τῇ Ὀλυμπιάδι.

Μήδα θυγάτηρ Κοθήλα.

# ΚΟΘΗΛΑΣ

## Βασιλεὺς Θρᾳκῶν.

Σάτυρος: ἐν τῷ περὶ τοῦ βίου Φιλίππου

Δικαίαρχος: ἐν τρίτῳ περὶ τοῦ τῆς Ἑλλάδος βίου
ἐν Ἀθηναίου Δειπνοσοφισταῖς ΙΓ΄ σελ. 557

ὡς ἱστορεῖ Δικαίαρχος ἐν τρίτῳ περὶ τοῦ τῆς Ἑλλάδος βίου

« ὁ δὲ Φίλιππος ἀεὶ κατὰ πόλεμον ἐγάμει.

« ἐν ἔτεσι γοῦν εἴκοσι καὶ δύο οἷς ἐβασίλευσεν, ὥς φησι Σάτυρος ἐν τῷ περὶ τοῦ βίου αὐτοῦ, Αὐδάταν Ἰλλυρίδα γήμας ἔσχεν ἐξ αὐτῆς θυγατέρα Κυνάναν. ἔγημε δὲ καὶ Φίλαν ἀδελφὴν Δέρδα καὶ Μαχάτα. οἰκειώσασθαι δὲ θέλων καὶ τὸ Θετταλῶν ἔθνος ἐπαιδοποιήσατο ἐκ δύο Θετταλίδων γυναικῶν, ὧν ἡ μὲν ἦν Φεραία Νικησίπολις, ἥτις αὐτῷ ἐγέννησε Θετταλονίκην, ἡ δὲ Λαρισσαία Φίλιννα, ἐξ ἧς Ἀριδαῖον ἐτέκνωσε. προσεκτήσατο δὲ καὶ τὴν Μολοττῶν βασιλείαν γήμας Ὀλυμπιάδα, ἐξ ἧς ἔσχεν Ἀλέξανδρον καὶ Κλεοπάτραν.

« καὶ τὴν Θρᾴκην δὲ ὅτε εἷλεν, ἧκε πρὸς αὐτὸν Κοθήλας ὁ τῶν Θρᾳκῶν βασιλεὺς ἄγων Μήδαν τὴν θυγατέρα καὶ δῶρα πολλά.

« γήμας δὲ καὶ ταύτην ἐπεισήγαγε τῇ Ὀλυμπιάδι.

« ἐπὶ πάσαις δὲ ἔγημε Κλεοπάτραν ἐρασθείς, τὴν Ἱπποστράτου μὲν ἀδελφήν, Ἀττάλου δὲ ἀδελφιδῆν. καὶ ταύτην ἐπεισαγαγὼν τῇ Ὀλυμπιάδι ἅπαντα τὸν βίον τὸν ἑαυτοῦ συνέχεεν. εὐθέως γὰρ ἐν αὐτοῖς τοῖς γάμοις ὁ μὲν Ἄτταλος, νῦν μέντοι γνήσιοι ἔφη, καὶ οὐ νόθοι βασιλεῖς γεννηθήσονται. καὶ ὁ Ἀλέξανδρος ἀκούσας ἔβαλεν ᾧ μετὰ χεῖρας εἶχε κυλικίῳ τὸν Ἄτταλον, ἔπειτα κἀκεῖνος αὐτὸν τῷ ποτηρίῳ. καὶ μετὰ ταῦτα Ὀλυμπιὰς μὲν εἰς Μολοττοὺς ἔφυγεν, Ἀλέξανδρος δ' εἰς Ἰλλυριούς. καὶ ἡ Κλεοπάτρα δὲ ἐγέννησε τῷ Φιλίππῳ θυγατέρα τὴν κληθεῖσαν Εὐρώπην »

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ